Od.5.1 Ἠὼς δ´ ἐκ λεχέων παρ´ ἀγαυοῦ Τι̱θωνοῖο
Od.5.2 ὤρνυθ´, ἵν´ ἀ̱θανάτοισι φόως φέροι ἠδὲ βροτοῖσιν·
Od.5.3 οἱ δὲ θεοὶ θῶκόνδε καθίζανον, ἐν δ´ ἄρα τοῖσι
Od.5.4 Ζεὺς ὑψιβρεμέτης, οὗ τε κράτος ἐστὶ μέγιστον.
Od.5.5 τοῖσι δ´ Ἀθηναίη λέγε κήδεα πόλλ´ Ὀδυσῆος
Od.5.6 μνησαμένη· μέλε γάρ οἱ ἐὼν ἐν δώμασι νύμφης·
Od.5.7 "Ζεῦ πάτερ ἠδ´ ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
Od.5.8 μή τις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιος ἔστω
Od.5.9 σκηπτοῦχος βασιλεύς, μηδὲ φρεσὶν αἴσιμα εἰδώς,
Od.5.10 ἀλλ´ αἰεὶ χαλεπός τ´ εἴη καὶ αἴσυλα ῥέζοι,
Od.5.11 ὡς οὔ τις μέμνηται Ὀδυσσῆος θείοιο
Od.5.12 λα̱ῶν, οἷσιν ἄνασσε, πατὴρ δ´ ὣς ἤπιος ἦεν.
Od.5.13 ἀλλ´ ὁ μὲν ἐν νήσῳ κεῖται κρατέρ´ ἄλγεα πάσχων,
Od.5.14 νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκῃ
Od.5.15 ἴσχει· ὁ δ´ οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι·
Od.5.16 οὐ γά̱ρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
Od.5.17 οἵ κέν μιν πέμποιεν ἐπ´ εὐρέα νῶτα θαλάσσης.
Od.5.18 νῦν αὖ παῖδ´ ἀγαπητὸν ἀποκτεῖναι μεμάα̱σιν
Od.5.19 οἴκαδε νι̱σόμενον· ὁ δ´ ἔβη μετὰ πατρὸς ἀκουὴν
Od.5.20 ἐς Πύλον ἠγαθέην ἠδ´ ἐς Λακεδαίμονα δῖαν."
Od.5.21 τὴν δ´ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Od.5.22 "τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.
Od.5.23 οὐ γὰρ δὴ τοῦτον μὲν ἐβούλευσας νόον αὐτή,
Od.5.24 ὡς ἦ τοι κείνους Ὀδυσεὺς ἀποτείσεται ἐλθών;

Od.5.25 Τηλέμαχον δὲ σὺ πέμψον ἐπισταμένως, δύνασαι γάρ,
Od.5.26 ὥς κε μάλ᾽ ἀσκηθὴς ἣν πατρίδα γαῖαν ἵκηται,
Od.5.27 μνηστῆρες δ᾽ ἐν νηῒ παλιμπετὲς ἀ̱πονέωνται."
Od.5.28 ἦ ῥα, καὶ Ἑρμείαν, υἱὸν φίλον, ἀντίον ηὔδα·
Od.5.29 "Ἑρμεία· σὺ γὰρ αὖτε τά τ᾽ ἄλλά περ ἄγγελός ἐσσι·
Od.5.30 νύμφῃ ἐϋπλοκάμῳ εἰπεῖν νημερτέα βουλήν,
Od.5.31 νόστον Ὀδυσσῆος ταλασίφρονος, ὥς κε νέηται,
Od.5.32 οὔτε θεῶν πομπῇ οὔτε θνητῶν ἀνθρώπων·
Od.5.33 ἀλλ᾽ ὅ γ᾽ ἐπὶ σχεδίης πολυδέσμου πήματα πάσχων
Od.5.34 ἤματι εἰκοστῷ Σχερίην ἐρίβωλον ἵκοιτο,
Od.5.35 Φαιήκων ἐς γαῖαν, οἳ ἀγχίθεοι γεγάα̱σιν·
Od.5.36 οἵ κέν μιν περὶ κῆρι θεὸν ὣς τι̱μήσουσι,
Od.5.37 πέμψουσιν δ᾽ ἐν νηῒ φίλην ἐς πατρίδα γαῖαν,
Od.5.38 χαλκόν τε χρυ̱σόν τε ἅλις ἐσθῆτά τε δόντες,
Od.5.39 πόλλ᾽, ὅσ᾽ ἂν οὐδέ ποτε Τροίης ἐξήρατ᾽ Ὀδυσσεύς,
Od.5.40 εἴ περ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ ληΐδος αἶσαν.
Od.5.41 ὣς γά̱ρ οἱ μοῖρ᾽ ἐστὶ φίλους τ᾽ ἰδέειν καὶ ἱκέσθαι
Od.5.42 οἶκον ἐς ὑψόροφον καὶ ἑὴν ἐς πατρίδα γαῖαν."
Od.5.43 ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε διάκτορος Ἀργεϊφόντης.
Od.5.44 αὐτίκ᾽ ἔπειθ᾽ ὑπὸ ποσσὶν ἐδήσατο κα̱λὰ πέδι̱λα,
Od.5.45 ἀμβρόσια χρύ̱σεια, τά μιν φέρον ἠμὲν ἐφ᾽ ὑγρὴν
Od.5.46 ἠδ᾽ ἐπ᾽ ἀπείρονα γαῖαν ἅμα πνοιῇσ᾽ ἀνέμοιο.
Od.5.47 εἵλετο δὲ ῥάβδον, τῇ τ᾽ ἀνδρῶν ὄμματα θέλγει,
Od.5.48 ὧν ἐθέλει, τοὺς δ᾽ αὖτε καὶ ὑπνώοντας ἐγείρει·

Od.5.49 τὴν μετὰ χερσὶν ἔχων πέτετο κρατὺς Ἀργεϊφόντης.

Od.5.50 Πι̱ερίην δ´ ἐπιβὰ̱ς ἐξ αἰθέρος ἔμπεσε πόντῳ·

Od.5.51 σεύατ´ ἔπειτ´ ἐπὶ κῦμα λάρῳ ὄρνι̱θι ἐοικώς,

Od.5.52 ὅς τε κατὰ̱ δεινοὺς κόλπους ἁλὸς ἀτρυγέτοιο

Od.5.53 ἰχθῦς ἀγρώσσων πυκινὰ πτερὰ δεύεται ἅλμῃ·

Od.5.54 τῷ ἴκελος πολέεσσιν ὀχήσατο κύ̱μασιν Ἑρμῆς.

Od.5.55 ἀλλ´ ὅτε δὴ τὴν νῆσον ἀφί̱κετο τηλόθ´ ἐοῦσαν,

Od.5.56 ἔνθ´ ἐκ πόντου βὰ̱ς ἰοειδέος ἤπειρόνδε

Od.5.57 ἤϊεν, ὄφρα μέγα σπέος ἵ̱κετο, τῷ ἔνι νύμφη

Od.5.58 ναῖεν ἐϋπλόκαμος· τὴν δ´ ἔνδοθι τέτμεν ἐοῦσαν.

Od.5.59 πῦρ μὲν ἐπ´ ἐσχαρόφιν μέγα καίετο, τηλόσε δ´ ὀδμὴ

Od.5.60 κέδρου τ´ εὐκεάτοιο θύου τ´ ἀνὰ νῆσον ὀδώδει

Od.5.61 δαιομένων· ἡ δ´ ἔνδον ἀοιδιάουσ´ ὀπὶ κα̱λῇ

Od.5.62 ἱστὸν ἐποιχομένη χρυ̱σείῃ κερκίδ´ ὕφαινεν.

Od.5.63 ὕ̱λη δὲ σπέος ἀμφὶ πεφύ̱κει τηλεθόωσα,

Od.5.64 κλήθρη τ´ αἴγειρός τε καὶ εὐώδης κυπάρισσος.

Od.5.65 ἔνθα δέ τ´ ὄρνι̱θες τανυσίπτεροι εὐνάζοντο,

Od.5.66 σκῶπές τ´ ἴ̱ρηκές τε τανύγλωσσοί τε κορῶναι

Od.5.67 εἰνάλιαι, τῇσίν τε θαλάσσια ἔργα μέμηλεν.

Od.5.68 ἡ δ´ αὐτοῦ τετάνυστο περὶ σπείους γλαφυροῖο

Od.5.69 ἡμερὶς ἡβώωσα, τεθήλει δὲ σταφυλῇσι.

Od.5.70 κρῆναι δ´ ἑξείης πίσυρες ῥέον ὕδατι λευκῷ,

Od.5.71 πλησίαι ἀλλήλων τετραμμέναι ἄλλυδις ἄλλη.

Od.5.72 ἀμφὶ δὲ λειμῶνες μαλακοὶ ἴου ἠδὲ σελί̱νου

Od.5.73 θήλεον. ἔνθά κ´ ἔπειτα καὶ ἀ̱θάνατός περ ἐπελθὼν

Od.5.74 θηήσαιτο ἰδὼν καὶ τερφθείη φρεσὶν ᾗσιν.

Od.5.75 ἔνθα στὰ̱ς θηεῖτο διάκτορος Ἀργεϊφόντης.

Od.5.76 αὐτὰρ ἐπεὶ δὴ πάντα ἑῷ θηήσατο θυ̱μῷ,

Od.5.77 αὐτίκ´ ἄρ´ εἰς εὐρὺ σπέος ἤλυθεν. οὐδέ μιν ἄντην

Od.5.78 ἠγνοίησεν ἰδοῦσα Καλυψώ, δῖα θεά̱ων·

Od.5.79 οὐ γάρ τ´ ἀγνῶτες θεοὶ ἀλλήλοισι πέλονται

Od.5.80 ἀ̱θάνατοι, οὐδ´ εἴ τις ἀπόπροθι δώματα ναίει.

Od.5.81 οὐδ´ ἄρ´ Ὀδυσσῆα μεγαλήτορα ἔνδον ἔτετμεν,

Od.5.82 ἀλλ´ ὅ γ´ ἐπ´ ἀκτῆς κλαῖε καθήμενος, ἔνθα πάρος περ,

Od.5.83 δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυ̱μὸν ἐρέχθων

Od.5.84 [πόντον ἐπ´ ἀτρύγετον δερκέσκετο δάκρυα λείβων].

Od.5.85 Ἑρμείαν δ´ ἐρέεινε Καλυψώ, δῖα θεά̱ων,

Od.5.86 ἐν θρόνῳ ἱ̱δρύ̱σα̱σα φαεινῷ σι̱γαλόεντι·

Od.5.87 "τίπτε μοι, Ἑρμεία χρυ̱σόρραπι, εἰλήλουθας,

Od.5.88 αἰδοῖός τε φίλος τε; πάρος γε μὲν οὔ τι θαμίζεις.

Od.5.89 αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυ̱μὸς ἄνωγεν,

Od.5.90 εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστίν.

Od.5.91 [ἀλλ´ ἕπεο προτέρω, ἵνα τοι πὰρ ξείνια θείω.]"

Od.5.92 ὣς ἄρα φωνήσα̱σα θεὰ̱ παρέθηκε τράπεζαν

Od.5.93 ἀμβροσίης πλήσα̱σα, κέρασσε δὲ νέκταρ ἐρυθρόν·

Od.5.94 αὐτὰρ ὁ πῖνε καὶ ἦσθε διάκτορος Ἀργεϊφόντης.

Od.5.95 αὐτὰρ ἐπεὶ δείπνησε καὶ ἤραρε θυ̱μὸν ἐδωδῇ,

Od.5.96 καὶ τότε δή μιν ἔπεσσιν ἀμειβόμενος προσέειπεν·

Od.5.97 "εἰρωτᾷς μ´ ἐλθόντα θεὰ θεόν· αὐτὰρ ἐγώ τοι
Od.5.98 νημερτέως τὸν μῦθον ἐνισπήσω· κέλεαι γάρ.
Od.5.99 Ζεὺς ἐμέ γ´ ἠνώγει δεῦρ´ ἐλθέμεν οὐκ ἐθέλοντα·
Od.5.100 τίς δ´ ἂν ἑκὼν τοσσόνδε διαδράμοι ἁλμυρὸν ὕδωρ
Od.5.101 ἄσπετον; οὐδέ τις ἄγχι βροτῶν πόλις, οἵ τε θεοῖσιν
Od.5.102 ἱερά τε ῥέζουσι καὶ ἐξαίτους ἑκατόμβας.
Od.5.103 ἀλλὰ μάλ´ οὔ πως ἔστι Διὸς νόον αἰγιόχοιο
Od.5.104 οὔτε παρεξελθεῖν ἄλλον θεὸν οὔθ´ ἁλιῶσαι.
Od.5.105 φησί τοι ἄνδρα παρεῖναι ὀϊζυρώτατον ἄλλων,
Od.5.106 τῶν ἀνδρῶν, οἳ ἄστυ πέρι Πριάμοιο μάχοντο
Od.5.107 εἰνάετες, δεκάτῳ δὲ πόλιν πέρσαντες ἔβησαν
Od.5.108 οἴκαδ´· ἀτὰρ ἐν νόστῳ Ἀθηναίην ἀλίτοντο,
Od.5.109 ἥ σφιν ἐπῶρσ´ ἄνεμόν τε κακὸν καὶ κύματα μακρά.
Od.5.110 ἔνθ´ ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι,
Od.5.111 τὸν δ´ ἄρα δεῦρ´ ἄνεμός τε φέρων καὶ κῦμα πέλασσε.
Od.5.112 τὸν νῦν σ´ ἠνώγειν ἀποπεμπέμεν ὅττι τάχιστα·
Od.5.113 οὐ γάρ οἱ τῇδ´ αἶσα φίλων ἀπονόσφιν ὀλέσθαι,
Od.5.114 ἀλλ´ ἔτι οἱ μοῖρ´ ἐστὶ φίλους τ´ ἰδέειν καὶ ἱκέσθαι
Od.5.115 οἶκον ἐς ὑψόροφον καὶ ἑὴν ἐς πατρίδα γαῖαν."
Od.5.116 ὣς φάτο, ῥίγησεν δὲ Καλυψώ, δῖα θεάων,
Od.5.117 καί μιν φωνήσασ´ ἔπεα πτερόεντα προσηύδα·
Od.5.118 "σχέτλιοί ἐστε, θεοί, ζηλήμονες ἔξοχον ἄλλων,
Od.5.119 οἵ τε θεαῖσ´ ἀγάασθε παρ´ ἀνδράσιν εὐνάζεσθαι
Od.5.120 ἀμφαδίην, ἤν τίς τε φίλον ποιήσετ´ ἀκοίτην.